UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## (Carmina) Pindari Carmina

### Pindarus

### Oxonii, (1935)

Olympia III

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1916

Visual Library

# *OLYMPIA III*

## ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ ΑΡΜΑΤΙ ΕΙΣ ΘΕΟΞΕΝΙΑ

στρ. α′ Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν καλλιπλοκάμῳ θ᾽ Ἑλένᾳ
κλεινὰν Ἀκράγαντα γεραίρων εὔχομαι,
Θήρωνος Ὀλυμπιονίκαν ὕμνον ὀρ-
θώσαις, ἀκαμαντοπόδων
ἵππων ἄωτον. Μοῖσα δ᾽ οὕτω ποι παρέ-
στα μοι νεοσίγαλον εὑρόντι τρόπον
5 Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ

ἀντ. α′ ἀγλαόκωμον· ἐπεὶ χαίταισι μὲν ζευχθέντες ἔπι στέφανοι
πράσσοντί με τοῦτο θεόδματον χρέος,
φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν
αὐλῶν ἐπέων τε θέσιν
Αἰνησιδάμου παιδὶ συμμεῖξαι πρεπόν-
τως, ἅ τε Πίσα με γεγωνεῖν· τᾶς ἄπο
10 θεόμοροι νίσοντ᾽ ἐπ᾽ ἀνθρώπους ἀοιδαί,

ἐπ. α′ ᾧ τινι κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας
ἀτρεκὴς Ἑλλανοδίκας γλεφάρων Αἰ-
τωλὸς ἀνὴρ ὑψόθεν
13 ἀμφὶ κόμαισι βάλῃ
γλαυκόχροα κόσμον ἐλαίας, τάν ποτε
14 Ἴστρου ἀπὸ σκιαρᾶν
παγᾶν ἔνεικεν Ἀμφιτρυωνιάδας,
15 μνᾶμα τῶν Ὀλυμπίᾳ κάλλιστον ἀέθλων,

στρ. β′ δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλλωνος θεράποντα λόγῳ·
πιστὰ φρονέων Διὸς αἴτει πανδόκῳ

1 φιλοξένοις BE  3 ὀρθώσαις AB : ὀρθώσας rell.  4 μοῖσαι C  που C : τοι D  παρέσται D : παρίστα Boeckh  7 θεόδμητον BC  9 πὰρ παιδὶ B  συμμῖξαι codd., corr. Schroeder  πρεπόντως] θήρωνος B  γεγωνεῖ Pauw : γέγωνεν Christ  10 θεόμοροι A : θεόμοιροι rell.  νίσσοντ᾽ CD  12 βλεφάρων AC  13 βάλλῃ D  14 σκιερᾶν E  ἀμφιτρυωνίδας vett., corr. Byz.  16 πείσαις B : πείσας rell.  17 αἴτει B$^{pc}$CD$^{s}$ : ἔτει D$^{i}$ : αἰτεῖ AB$^{ac}$E

ἄλσει σκιαρόν τε φύτευμα ξυνὸν ἀν-
θρώποις στέφανόν τ' ἀρετᾶν.
ἤδη γὰρ αὐτῷ, πατρὶ μὲν βωμῶν ἁγι-
σθέντων, διχόμηνις ὅλον χρυσάρματος
20 ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε Μήνα,

ἀντ. β' καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν καὶ πενταετηρίδ' ἁμᾷ
θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ·
ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος ἐν
βάσσαις Κρονίου Πέλοπος.
τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀ-
ξείαις ὑπακουέμεν αὐγαῖς ἁλίου.
25 δὴ τότ' ἐς γαῖαν πορεύεν θυμὸς ὥρμα

ἐπ. β' Ἰστρίαν νιν· ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ
δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν
καὶ πολυγνάμπτων μυχῶν,
28 εὖτέ νιν ἀγγελίαις
Εὐρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν
29 χρυσόκερων ἔλαφον
θήλειαν ἄξονθ', ἅν ποτε Ταϋγέτα
30 ἀντιθεῖσ' Ὀρθωσίας ἔγραψεν ἱεράν.

στρ. γ' τὰν μεθέπων ἴδε καὶ κείναν χθόνα πνοιαῖς ὄπιθεν Βορέα
ψυχροῦ· τόθι δένδρεα θάμβαινε σταθείς.
τῶν νιν γλυκὺς ἵμερος ἔσχεν δωδεκά-
γναμπτον περὶ τέρμα δρόμου
ἵππων φυτεῦσαι. καί νυν ἐς ταύταν ἑορ-
τὰν ἵλαος ἀντιθέοισιν νίσεται
35 σὺν βαθυζώνου διδύμοις παισὶ Λήδας.

18 σκιερόν CD 20 μήνη D 21 μεγάλαν A ἁμᾷ Heyne : ἁμᾶ vett. 23 βάσαις AC 24 ἁλίου BE$^{\text{lit}}$V : ἀελίου AC 25 πυρεύεν A : πορεύειν rell. ὥρμα A : ὥρμαιν' rell. 26 ἰστριανὴν B$^{\gamma\rho}$ : Ἰστρία νιν Aristarchus 27 πολυγνάπτων C 28 νιν Mommsen : μιν codd. 29 χρυσεόκερων A 30 Ὀρθωσίας Ahrens : ὀρθωσίᾳ codd. 31 εἶδε AB καὶ κείναν Boeckh : κἀκείναν codd. πνοιᾶς Rom. ὄπισθεν B$^{\text{ac}}$D βορέαο A : βορέου CD$^{\text{s}}$ 32 θάμβαινε A : θάμενε D$^{\text{ac}}$: θαύμαινε rell. 33 μιν A 34 καὶ νῦν vett., corr. Tricl. 35 διδύμοις A vix sanum : διδύμοισι BCDGV: διδύμμοις Mosch.: διδύμνοις Hermann

ἀντ. γ′ τοῖς γὰρ ἐπέτραπεν Οὔλυμπόνδ' ἰὼν θαητὸν ἀγῶνα νέμειν
ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
διφρηλασίας. ἐμὲ δ' ὦν πᾳ θυμὸς ὀ-
τρύνει φάμεν Ἐμμενίδαις
Θήρωνί τ' ἐλθεῖν κῦδος εὐίππων διδόν-
των Τυνδαριδᾶν, ὅτι πλείσταισι βροτῶν
40 ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,

ἐπ. γ′ εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς.
εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ
χρυσὸς αἰδοιέστατος,
43 νῦν δὲ πρὸς ἐσχατιὰν
Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται
44 οἴκοθεν Ἡρακλέος
σταλᾶν. τὸ πόρσω δ' ἐστὶ σοφοῖς ἄβατον
45 κἀσόφοις. οὔ νιν διώξω. κεινὸς εἴην.

36 ἐπέτραπεν AB[s] : ἐπέτρεπεν rell. vett. 38 ἐμὲ δ' οὖν καὶ ? Schroeder 40 ξενίαις vett., corr. Byz. 42 αἰδοιέστατος A : αἰδοιέστατον rell. 43 νῦν δὲ AD : νῦν γε rell. 44 Ἡρακλέους A στηλᾶν AB ἐστὶ AC : ἔστι rell. 45 οὔ νιν C : οὔ μιν DEGV : οὐ μὴν AB κεῖνος D[ac] : κενὸς ἂν Wackernagel : κενεὸς ? Schroeder